Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: aku-aa

*Ἄνυμος Κουρητῶν ὕμνος* · Hymn of the Curetes Anonymous

# Hymn of the Curetes

## *Ὕμνος Κουρητῶν*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρική* Doric
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Ἰώ, μέγιστε Κοῦρε,
[para]χαῖρέ μοι, Κρόνειε,
[para]παγκρατὲς γάνος, βέβακες
[para]δαιμόνων ἁγώμενος·
Δίκταν εἰς ἐνιαυτὸν
[para]ἕρπε καὶ γέγαθι μολπᾷ,
τάν τοι κρέκομεν πακτίσι
μείξαντες ἅμ’ αὐλοῖσιν,
καὶ στάντες ἀείδομεν τεὸν
ἀμφὶ βωμὸν οὐερκῆ.
[para]Ἰώ, μέγιστε Κοῦρε,
[para]χαῖρέ μοι Κρόνειε,
[para]παγκρατὲς γάνος, βέβακες
[para]δαιμόνων ἁγώμενος·
Δίκταν εἰς ἐνιαυτὸν
[para]ἕρπε καὶ γέγαθι μολπᾷ.
Ἔνθα γὰρ σέ, παῖδ’ ἄμβροτον,
ἀσπιδ[ηφόροι τροφῆες]
παρ’ Ῥέας λαβόντες πόδα
κ[ρούοντες ἀντάχον.]
[para]Ἰώ, μέγιστε Κοῦρε,
[para]χαῖρέ μοι Κρόνειε,
[para]παγκρατὲς γάνος, βέβακες
[para]δαιμόνων ἁγώμενος·
Δίκταν εἰς ἐνιαυτὸν

[para]ἕρπε καὶ γέγαθι μολπᾷ·
Desunt duo versus. – τᾶ]ς καλᾶς Ἀός.
[para]Ἰώ, μέγιστε Κοῦρε,
[para]χαῖρέ μοι Κρόνειε,
[para]παγκρατὲς γάνος, βέβακες
[para]δαιμόνων ἁγώμενος·
Δίκταν εἰς ἐνιαυτὸν
[para]ἕρπε καὶ γέγαθι μολπᾷ.
[Ὧραι δὲ βρ]ύον κατῆτος,
καὶ βροτὸς Δίκα κατῆχε,
[καὶ πάντα δι]ῆπε ζώ〈ι〉’
ἁ φίλολβος Εἰρήνα.
[para]Ἰώ, μέγιστε Κοῦρε,
[para]χαῖρέ μοι, Κρόνειε,
[para]παγκρατὲς γάνος, βέβακες
[para]δαιμόνων ἁγώμενος·
Δίκταν εἰς ἐνιαυτὸν
[para]ἕρπε καὶ γέγαθι μολπᾷ.
Ἁ[μῖν θόρε, κὲς στα]μνία,
καὶ θόρ’ εὔποκ’ ἐ[ς ποίμνια,
κὲς λάϊ]α καρπῶν θόρε,
κὲς τελεσ[φόρος ἀγρός.
[para]Ἰώ, μέγιστε Κοῦρε,
[para]χαῖρέ μοι, Κρόνειε,
[para]παγκρατὲς γάνος, βέβακες
[para]δαιμόνων ἁγώμενος·
Δίκταν εἰς ἐνιαυτὸν
[para]ἕρπε καὶ γέγαθι μολπᾷ.
Θόρε κὲς] πόληας ἁμῶν
θόρε κὲς ποντοπόρος νᾶας,
θόρε κὲς ν[έος πολ]είτας,
θόρε κὲς Θέμιν κλ[ειτάν.
[para]Ἰώ, μέγιστε Κοῦρε,
[para]χαῖρέ μοι Κρόνειε,
[para]παγκρατὲς γάνος, βέβακες
[para]δαιμόνων ἁγώμενος·
Δίκταν εἰς ἐνιαυτὸν
ἕρπε καὶ γέγαθι μολπᾷ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org